Apparatus:
5. pap. ϊερω

Transcription:
ca .27 letters ] φη [ ]ο̣ι̣
στεφάνων̣ μο̣[υ οὐκ] ὤνησα, ἀλλὰ παν̣τ̣ὶ̣ σθένει
ὁμοῦ τοῖς κοινωνοῖς κατασκευασθῆναι
ἐπεθέμην, οἳ καὶ νῦν ἀπόκεινται ἐν τῷ
πατρίῳ ἡμῶν ἱερῷ Ἀθηνᾶς Θοήριδος θεᾶς
μεγίστης. προσῆλθον δὲ μετὰ τα[ῦ]τ̣α τῷ
διασημοτάτῳ δ̣ιέποντι τὴν ἡγ[ε]μονίαν
Μουσσίῳ Αἰμ̣ι̣λιανῷ καὶ ἔτυχον [ἐ]ξ ἀντι-
γραφῆς τὴν ἀ̣πὸ τῶν ν̣όμων φ̣ι̣λανθρω-
πίαν περὶ τοῦ̣ μὴ ἐνοχλείσθαι λειτουργι-
ῶν ἕνεκεν γεγηρακότα - εἰμὶ γὰρ ὅλων
ὀγδοήκοντα καὶ τριῶν ἐτῶν καὶ τὰ δόξαν-
τ̣α τῷ μεγέθει αὐτοῦ φανερωθῆναι ὑμῖν
ἐποίησα πρὸ πολλοῦ μ̣ὲ̣ν ἔτι ἄνωθεν
καὶ νῦν δὲ διὰ στρατηγικοῦ ὑπηρέτου,
ἀλλὰ μετὰ ταῦτα ὀνομά[σθην εἰς ἀ]ν̣άδοσιν
τ̣οῖς γενν̣αιοτάτοις στρα̣[τιώταις] τοῖς
εἰς τὴν ἄνω [Α]ἴ̣γυπτο̣ν̣ [πεμφθεῖσιν, εἰς
ἄλλα̣ς τοῖς με̣τὰ του  [ ca. 11 letters ]
παραγενομε̣νο̣ις κρ [ ca.11 letters ]
καὶ ταύτας ἀπεπλήρωσ̣[α, ἀλλὰ νῦν αἰτῶ
καὶ παρακαλῶ, ὡς ὁράτ[ε με ἀδύνατον
καὶ τοῖς ὄμμασιν ἀσθε̣[νῆ γεγενη-]\
μένον, πρὸς δὲ τούτοι[ς ἔχοντα χάρ-
τας τῶν ὑπὸ τοῦ κυρίου [ἡμῶν Μουσσίου
Αἰμιλιανοῦ τοῦ διασημ[οτάτου τεταγμέ-
νων, α`ἵ´ καὶ νῦν ὑμῖν δ̣[είξω, περὶ τοῦ ἐνο-
χλεῖν μοι μηκέτι πε̣ρ[ὶ λειτουργιῶν ἀδυ-
νάτῳ καὶ τῷ σώματι̣ [ἀσθενεῖ ὄντι,
τοῖς ἀναλώμ̣ασι δὲ τ[ελῶ [ ca. 8 letters ]